κάθετος πρὸς τὴν ΝΠ βάσιν. οὕτως ἡ ΜΠ πρὸς τὴν ΓΤ· ἴ-
σῃ δὲ ἡ ΓΤ τῇ ΛΗ· καὶ ὡς ἄρα ἡ ΗΘ κάθετος πρὸς τὴν
ΝΠ βάσιν, οὕτως ἡ ΜΠ πρὸς τὴν ΛΗ. τῶν ΑΒ ΓΔ ἄ-
ρα στερεῶν παραλληλεπιπέδων, ἀντιπεπόνθασιν
αἱ βάσεις τοῖς ὕψεσιν. ἀλλὰ δὴ τῶν ΑΒ ΓΔ στερεῶν
παραλληλεπιπέδων, ἀντιπεπονθέτωσαν αἱ βάσεις
τοῖς ὕψεσιν· καὶ ἔστω ὡς ἡ ΕΘ βάσις πρὸς τὴν ΝΠ βά-
σιν, οὕτως τὸ τοῦ ΓΔ στερεοῦ ὕψος πρὸς τὸ τοῦ ΑΒ
στερεοῦ ὕψος· λέγω ὅτι ἴσον ἐστὶ τὸ ΑΒ στερεὸν τῷ
ΓΔ στερεῷ. ἔστωσαν γὰρ πάλιν αἱ ἐφεστῶσαι πρὸς
ὀρθὰς ταῖς βάσεσιν. καὶ εἰ μὲν ἴση ἐστὶν ἡ ΕΘ βάσις
τῇ ΝΠ βάσει, καὶ ἐστὶν ὡς ἡ ΕΘ βάσις πρὸς τὴν ΝΠ
βάσιν, οὕτως τὸ τοῦ ΓΔ στερεοῦ ὕψος πρὸς τὸ τοῦ
ΑΒ στερεοῦ ὕψος· ἴσον ἄρα ἐστὶ καὶ τὸ τοῦ ΓΔ στερε-
οῦ ὕψος τῷ τοῦ ΑΒ στερεοῦ ὕψει. τὰ δὲ ἐπὶ ἴσων
βάσεων ὄντα στερεὰ παραλληλεπίπεδα καὶ ὑπὸ
τὸ αὐτὸ ὕψος, ἴσα ἀλλήλοις ἐστίν· ἴσον ἄρα ἐστὶ τὸ
ΑΒ στερεὸν τῷ ΓΔ στερεῷ. μὴ ἔστω δὴ ἡ ΕΘ βάσις
τῇ ΝΠ ἴση, ἀλλ' ἔστω μείζων ἡ ΕΘ. μεῖζον ἄρα ἐστὶ
καὶ τὸ τοῦ ΓΔ στερεοῦ ὕψος τοῦ τοῦ ΑΒ στερεοῦ ὕψους,
τουτέστιν ἡ ΓΜ τῆς ΑΗ. κείσθω τῇ ΑΗ ἴση πάλιν
ἡ ΓΤ καὶ συμπεπληρώσθω ὁμοίως τὸ ΓΦ στερεόν.
ἐπεὶ ἐστὶν ὡς ἡ ΕΘ βάσις πρὸς τὴν ΝΠ βάσιν, οὕτως
ἡ ΜΓ πρὸς τὴν ΑΗ, ἴση δὲ ἡ ΑΗ τῇ ΓΤ, ἔστιν ἄρα
ὡς ἡ ΕΘ βάσις πρὸς τὴν ΝΠ βάσιν, οὕτως ἡ ΜΓ
πρὸς τὴν ΓΤ. ἀλλ' ὡς μὲν ἡ ΕΘ βάσις πρὸς τὴν ΝΠ

βάσιν, οὕτως τὸ ΑΒ στερεὸν πρὸς τὸ ΓΦ στερεόν· ἰσοϋψῆ
γάρ ἐστι τὰ ΑΒ ΓΦ στερεά· ὡς δὲ ἡ ΓΜ πρὸς τὴν ΓΤ, οὕ-
τως ἥ τε ΜΠ βάσις πρὸς τὴν ΠΤ βάσιν, καὶ τὸ ΓΔ στερε-
ὸν πρὸς τὸ ΓΦ. καὶ ὡς ἄρα τὸ ΑΒ στερεὸν πρὸς τὸ ΓΦ στερε-
όν, οὕτως τὸ ΓΔ στερεὸν πρὸς τὸ ΓΦ στερεόν· ἑκάτε-
ρον ἄρα τῶν ΑΒ ΓΔ πρὸς τὸ ΓΦ τὸν αὐτὸν ἔχει λόγον· ἴ-
σον ἄρα ἐστὶ τὸ ΑΒ στερεὸν τῷ ΓΔ στερεῷ· ὅπερ ἔδει
δεῖξαι.



Μὴ ἔστωσαν δὴ αἱ ἐφεστῶσαι αἱ ΖΕ ΒΛ ΗΑ ΘΚ ΞΝ ΔΟ ΜΓ ΡΠ
πρὸς ὀρθὰς ταῖς βάσεσιν αὐτῶν. καὶ ἤχθωσαν ἀπὸ τῶν
Ζ Η Β Κ Ξ Μ Δ Ρ σημείων ἐπὶ τὰ διὰ τῶν ΕΘ ΝΠ βάσεων ἐπί-
πεδα κάθετοι καὶ συμβαλλέτωσαν τοῖς ἐπιπέδοις κατὰ
τὰ Σ Τ Υ Φ Χ Ψ Ω Ϛ. καὶ συμπεπληρώσθω τὰ ΖΦ ΞΩ στε-
ρεά· λέγω ὅτι καὶ οὕτως ἴσων ὄντων τῶν ΑΒ ΓΔ στερε-
ῶν, ἀντιπεπόνθασιν αἱ βάσεις τοῖς ὕψεσιν· καὶ ἔστιν
ὡς ἡ ΕΘ βάσις πρὸς τὴν ΝΠ βάσιν, οὕτως τὸ τοῦ
ΓΔ στερεοῦ ὕψος πρὸς τὸ τοῦ ΑΒ στερεοῦ ὕψος· ἐπεὶ γὰρ
ἴσον ἐστὶ τὸ ΑΒ στερεὸν τῷ ΓΔ στερεῷ, ἀλλὰ τὸ μὲν ΑΒ

BIBLIOTHECA BODLEIANA